UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

III. De genere & inquisitione Joannis Episcopi Constantinopolitani.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

ὅτι σπουδὴν ἐτίθετο, διασύραι μὲν τὴν Ἰωάννου A δόξαν· Ἰσίδωρον δὲ ὑπ᾽ αὐτῷ πρεσβύτερον πρὸς τὴν ἐπισκοπὴν προχειρίσασθαι, ὃν πάνυ ἠγάπα, ὅτι ὑπὲρ αὐτοῦ πολὺ κινδυνῶδες ἐπίταγμα ἀνεδέξατο· τί δὲ τοῦτο ἐστὶ, λεκτέον· ἡνίκα ὁ βασιλεὺς Θεοδόσιος, πρὸς τὴν τύραννον ἠγωνίζετο Μάξιμον, Θεόφιλος διὰ Ἰσιδώρου ξένια πέμπων βασιλεῖ, διττὰς αὐτῷ ἐπιστολὰς ἐνεχείρισεν, ἐντειλάμενος προσενεγκεῖν τῷ νικήσαντι καὶ τὰ δῶρα καὶ τὰ γράμματα· τούτοις διακονούμενος Ἰσίδωρος, καταλαβὼν τὴν Ῥώμην, τῇ νίκῃ ἐφέδρευεν· ἀλλ᾽ οὐκ εἰς μακρὰν τὸ γινόμενον ἔλαθεν, ἀναγνώστου γὰρ συνόντος αὐτῷ B τὰς ἐπιστολὰς ἐπικλέψαντος· οὗ ἕνεκεν ὁ Ἰσίδωρος ἐν φόβῳ γινόμενος, ὡς εἶχεν, ἐπὶ τὴν Ἀλεξάνδρειαν ἔφυγεν. αὕτη πρόφασις ἦν Θεοφίλῳ τῆς ὑπὲρ Ἰσιδώρου σπουδῆς· οἱ μέντοι κατὰ τὰ βασίλεια, τὸν Ἰωάννην προέκριναν· ἐπειδὴ δὲ κατηγορίας κατὰ Θεοφίλου πολλοὶ ἀνεκίνουν, βιβλία τὲ καὶ αὐτοῦ ἄλλος δι᾽ ἄλλην αἰτίαν τοῖς παροῦσιν ἐπισκόποις ἐδίδοσαν, ὁ προεστὼς τοῦ βασιλικοῦ κοιτῶνος Εὐτρόπιος λαβὼν τὰς ἐγγράφους κατηγορίας, ἐπέδειξεν τῷ Θεοφίλῳ, ἐκλογὴν ἔχειν, ἢ χειροτονεῖν Ἰωάννην, ἢ τὰς κατ᾽ αὐτοῦ κατηγορίας εἰς ἔλεγχον ἄγεσθαι· ταῦ- C τα φοβηθεὶς ὁ Θεόφιλος, τὸν Ἰωάννην ἐχειροτόνησε· χειροτονηθεὶς οὖν πρὸς τὴν τῆς ἐπισκοπῆς ἱερωσύνην, ἐνθρονίζεται τῇ εἰκάδι ἕκτῃ τοῦ Φεβρουαρίου μηνὸς, ὑπατείᾳ τῇ ἑξῆς, ἣν ἐπετέλουν ἐν μὲν τῇ Ῥώμῃ ὁ βασιλεὺς Ὀνώριος, ἐν δὲ τῇ Κωνσταντίνου πόλει Εὐτυχιανὸς, ὁ τότε τῶν βασιλέων ὕπαρχος· ἐπεὶ δὲ ἐκφανὴς ὁ ἀνὴρ, ἐξ ὧν τε κατέλειπε λόγων, καὶ ἐξ ὧν πολλοῖς δεινοῖς περιέπεσεν, ἄξιον ἡγοῦμαι μὴ σιγῆσαι τὰ κατ᾽ αὐτὸν, ἀλλ᾽ ὡς οἷόν τε τὰ διὰ μακροτέρων λεχθησόμενα συστεῖλαι, εἰπεῖν τε ὅθεν ἦν, καὶ ἐκ τίνων, καὶ ὅπως ἐπὶ τὴν ἱερωσύνην ἐκλήθη· ὅπως τὲ ἀφῃρέθη αὐτῆς, καὶ ὡς μετὰ θάνατον D ἐτιμήθη μᾶλλον ἢ περιών.

Qui quidem summo studio laborabat, ut Ioannis quidem gloriam detereret, Isidorum vero Presbyterum suum ad Episcopatum urbis regiæ promoveret. Hunc enim præcipuè diligebat, propterea quod periculosum quoddam negotium ipsius causâ suscepisset. Quodnam vero illud fuerit, jam dicendum est. Dum Theodosius Imperator adversus Maximum tyrannum bellum gereret, Theophilus per Isidorum munera mittens ad Imperatorem, binas ei tradidit Epistolas, mandans ut Victorii munera simul ac literas offerret. Quibus mandatis obsequens Isidorus, cum Romam venisset, eventum belli expectabat. Verum ea res diu latere non potuit. Nam Lector qui eum concomitabatur, Epistolas clam surripuit. Quo facto conterritus Isidorus, illico aufugit Alexandriam. Hæc fuit causa cur Theophilus Isidoro tantopere studeret. Verum qui in Palatio erant, Joannem prætulerunt. Et quoniam multi Theophilum accusabant, & libellos varia crimina continentes Episcopis qui tum aderant offerebant, Eutropius Præpositus imperialis cubiculi, acceptos libellos ostendit Theophilo: eligere eum jubens utrum mallet, Joannemné ordinare, an de criminibus ipsi objectis judicium subire. His perterrefactus Theophilus, Joannem ordinavit. Ordinatus igitur Ioannes in Episcopali sede constituitur quarto Calendas Martij, Consulatu proxime insequenti, quem Romæ quidem Imperator Honorius, Constantinopoli vero Eutychianus Præfectus Prætorio editionibus ludisque celebrarunt. Sed quoniam hujus viri celebris fama est, tum ex libris quos scriptos reliquit, tam ex multis ærumnis quas pertulit, æquum esse arbitror ut res ejus non silentio tradantur à nobis, sed potius ea quæ pluribus de illo dici possunt, brevi compendio complectamur. Dicamusque quis & unde fuerit: quomodo ad sacerdotii honorem vocatus, eodemque postea ad sacerdotii honorem vocatus, eodemque postea spoliatus sit: denique qua ratione plus honoris post obitum consecutus sit, quàm dum viveret.

## Κεφ. γ᾽.

Περὶ γένους, καὶ ἀγωγῆς βίου Ἰωάννου τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου.

Ἰωάννης, Ἀντιοχεὺς μὲν ἦν τῆς κοίλης Συρίας υἱὸς δὲ Σεκούνδου καὶ μητρὸς Ἀνθούσης, ἐξ εὐ-

## Cap. III.

*De genere & institutione Joannis Episcopi C. P.*

Ioannes igitur oriundus fuit Antiochiâ, quæ urbs est Syriæ Cœles, patre Secundo, matre Anthusa, nobili

apud suos prosapia. In Rethorica Libanium Sophistam: in Philosophia vero magistrum habuit Andragathium. Cumque causas agere jam pararet, considerans quam laboriosum quamque iniquum esset vivendi genus eorum qui in Foro versantur, tranquilliorem vitam sequi maluit. Quod quidem fecit exemplo Evagrii; qui sub iisdem cum illo præceptoribus eruditus, ad quietam vivendi rationem jampridem se contulerat. Confestim igitur mutato habitu atque incessu, lectioni sacrarum literarum animum applicuit: & frequenter ad Ecclesiam orationis causa properabat. Persuasit etiam Theodoro & Maximo condiscipulis suis, qui unà cum ipso Libanium Sophistam audiverant, ut relicta professione quæ nihil præter quæstum spectaret, simplicem potius ac tenuem vitam amplecterentur. Ex his Theodorus quidem Mopsuestiæ in Cilicia postmodum Episcopus fuit: Maximus vero Seleuciæ in Isauria. Tunc temporis vero summo studio ad virtutis apicem contendentes, Monasticam vitam sub Diodoro & Carterio didicerunt: qui tunc quidem Monasteriis præerant. Postea vero Diodorus ad Episcopatum Tarsi promotus, multos conscripsit libros, simplicem duntaxat atque obvium scripturarum sensum inquirens, allegoricam vero earum interpretationem refugiens. Sed de his satis. Ioannem porro familiariter degentem cum Basilio, qui tunc quidem Diaconus erat à Meletio constitutus, postea vero Cæsareæ Cappadociæ fuit Episcopus, Zeno Episcopus Hierosolymis rediens Lectorem Antiochenæ Ecclesiæ designavit. In hoc Lectorum ordine adhuc constitutus librum, contra Iudæos composuit. Nec multo post Diaconi dignitatem à Meletio consecutus, scripsit libros de sacerdotio, & alios adversus Stagirium: ad hæc de incomprehensibili Dei natura, & de commanentibus mulieribus. Posthæc Meletio mortuo Constantinopoli: Illuc enim profectus fuerat Meletius propter ordinationem Gregorii Nazianzeni: Ioannes à Meletianorum consortio recedens, nec tamen Paulini communionem amplexus, tres annos continuos in summa quiete vixit. Tandem vero post obitum Paulini, ab Evagrio ejus successore Presbyter

A πατρίδων τῶν ἐκεῖ. μαθητὴς δὲ ἐγένετο Λιβανίου τοῦ σοφιστοῦ, καὶ ἀκροατὴς Ἀνδραγαθίου τοῦ φιλοσόφου. μέλλων δὲ ἐπὶ δικανικὴν ὁρμᾶν, καὶ συνιδὼν τὸν ἐν τοῖς δικαστηρίοις μοχθηρὸν καὶ ἄδικον βίον, ἐπὶ τὸν ἡσύχιον μᾶλλον ἐτρέπετο. καὶ τοῦτο ἐποίησε, ζηλώσας εὐάγριον· ὃς καὶ αὐτὸς φοιτῶν παρὰ τοῖς αὐτοῖς διδασκάλοις, τὸν ἡσύχιον πάλαι βίον μετήρχετο. εὐθύς τε καὶ μεταθεὶς τὸ σχῆμα καὶ βάδισμα, τοῖς ἀναγνώσμασι τῶν ἱερῶν γραμμάτων προσεῖχε τὸν νοῦν, καὶ συνεχεῖς ἐποιεῖτο

B τὰς ἐπὶ τὴν ἐκκλησίαν σπουδάς. πείθει δὲ καὶ θεόδωρον καὶ μάξιμον, συμφοιτητὰς αὐτοῦ γενομένους παρὰ τῷ σοφιστῇ λιβανίῳ, καταλιπεῖν μὲν τὸν χρηματιστικὸν βίον, μετιέναι δὲ τὸν λιτόν. ὧν θεόδωρος μὲν ὕστερον μόψου ἑστίας τῆς ἐν κιλικίᾳ πόλεως ἐπίσκοπος γέγονε· μάξιμος δὲ σελευκείας τῆς ἐν ἰσαυρίᾳ. τηνικαῦτα οὖν ἔτι σπουδαῖοι περὶ τὴν ἀρετὴν γενόμενοι, μαθητεύουσιν εἰς τὰ ἀσκητικὰ διοδώρῳ καὶ καρτερίῳ, οἳ τότε μὲν ἀσκητηρίων προέστησαν. Διόδωρος

C δὲ αὐτῶν ὕστερον ἐπίσκοπος ταρσοῦ γενόμενος, πολλὰ βιβλία συνέγραψε, ψιλῷ τῷ γράμματι τῶν θείων προσέχων γραφῶν, τὰς θεωρίας αὐτῶν ἐκτρεπόμενος. ταῦτα μὲν οὖν περὶ τούτων. Ἰωάννην δὲ ἅμα βασιλείῳ, τότε μὲν διακόνῳ ὑπὸ μελετίου καταστάντι, μετὰ ταῦτα δὲ γενομένῳ καισαρείας τῆς καππαδοκῶν ἐπισκόπῳ, τὰ πολλὰ συνδιατρίβοντα, ζήνων ὁ ἐπίσκοπος ἐκ τῶν ἱεροσολύμων ὑποστρέφων, ἀναγνώστην τῆς ἐν ἀντιοχείᾳ ἐκκλησίας καθίστησιν. ἐν τῇ οὖν ἀναγνώστου τάξει καθεστώς, τὸν κατὰ ἰουδαίων λόγον

D συνέταξεν. μετ' οὐ πολὺ δὲ καὶ τῆς τοῦ διακόνου ἀξίας παρὰ μελετίου τυχών, τοὺς περὶ ἱερωσύνης λόγους συνέταξε, καὶ τοὺς πρὸς σταγείριον ἔτι μὴν καὶ τοὺς περὶ ἀκαταλήπτου καὶ τοὺς περὶ τῶν συνεισάκτων. μετὰ ταῦτα δὲ μελετίου ἐν κωνσταντινουπόλει τελευτήσαντος· ἐκεῖ γὰρ παραγεγόνει διὰ τὴν γρηγορίου τοῦ ναζιανζηνοῦ κατάστασιν, ἀναχωρήσας ἰωάννης τῶν μελετιανῶν, καὶ μὴ παυλίνῳ συγκοινωνῶν, ἐπὶ τρεῖς ὅλους ἐνιαυτοὺς ἡσύχως διῆγεν· ὕστερον δὲ παυλίνου τελευτήσαντος, ὑπὸ εὐαγρίου τοῦ διαδεξαμένου παυλῖνον χειροτονεῖται πρεσβύ-

A τερος· αὕτη μὲν ἡ Ἰωάννου πρὸ τῆς ἐπισκοπῆς, ὡς συντόμως εἰπεῖν, διαγωγὴ ἦν· ὁ δὲ ἄνθρωπος, ὡς φασι, διὰ ζῆλον σωφροσύνης πικρότερος, καὶ πλέον, ὥς ἔφη τις τῶν οἰκειοτάτων αὐτοῦ, ἐκ νέας ἡλικίας θυμῷ μᾶλλον ἢ αἰδοῖ ἐχαρίζετο· καὶ διὰ μὲν ὀρθότητα βίου, ἀκατάσφαλὴς πρὸς τὰ μέλλοντα· δι' ἁπλότητα δὲ εὐχερής· ἐλευθεροστομίᾳ τὲ πρὸς τοὺς ἐντυγχάνοντας ἀμέτρως ἐκέχρητο· καὶ ἐν μὲν τῷ διδάσκειν, πολὺς ἦν ὠφελῆσαι τὰ τῶν ἀκουόντων ἤθη· ἐν δὲ ταῖς συντυχίαις, ἀλαζονικὸς τοῖς ἀγνοοῦσιν αὐτὸν ἐνομίζετο.

A ordinatur. Et ante Episcopatum quidem, ut summatim dicam, hujusmodi vita Ioannis fuit. Fuit autem, ut ferunt, ob nimium temperantiæ studium acerbior; & sicut ajebat quidam qui cum illo ab ineunte ætate familiariter vixerat, iræ magis deditus quàm verecundiæ. Et ob vitæ quidem sanctimoniam incautus adversus futura: ob simplicitatem vero apertus & facilis. Immodica etiam loquendi libertate erga omnes utebatur. Et in docendo quidem id præcipue spectabat, ut mores audientium emendaret. In congressibus vero arrogantior videbatur iis qui mores ipsius ignorabant. B

## Κεφ. δʹ.

Περὶ Σαραπίωνος τοῦ διακόνου, καὶ ὅπως δι' αὐτὸν ὁ ἐπίσκοπος ἐχθρὸς τοῦ κλήρου κατέστη καὶ πολέμιος.

Τοιοῦτος ὢν τὸ ἦθος, καὶ ἐπὶ τὴν ἐπισκοπὴν προβληθεὶς, μείζονι ἢ ἐχρῆν τῇ ὀφρύϊ κατὰ τῶν ὑπηκόων ἐκέχρητο, διορθοῦν τοὺς βίους τῶν ὑφ' αὐτοῦ κληρικῶν, ὡς ᾤετο, προαιρούμενος· εὐθὺς οὖν ἐν ἀρχῇ φανεὶς τοῖς τῆς ἐκκλησίας τραχὺς, ὑπ' αὐτῶν ἐμισεῖτο· πολλοί τε πρὸς αὐτὸν ἀπηχθάνοντο, καὶ ὡς ὀργίλον ἐξέκλινον· ἐνῆγε δὲ αὐτὸν πρὸς τὸ πᾶσι προσκρούειν, Σαραπίων διάκονος ὑπ' αὐτοῦ ταττόμενος· καί ποτε παρόντων τῶν κληρικῶν, μεγάλῃ τῇ φωνῇ πρὸς τὸν ἐπίσκοπον τοιοῦτον λόγον ἐφθέγξατο· οὔποτε ὦ ἐπίσκοπε τούτων κρατῆσαι δυνήσῃ, εἰ μὴ μιᾷ ῥάβδῳ πάντας ἐλαύνοις· τοῦτο λεχθὲν, τὸ κατὰ τοῦ ἐπισκόπου μῖσος ἐξήγειρεν· ὁ δὲ ἐπίσκοπος οὐκ εἰς μακρὰν πολλοὺς τῆς ἐκκλησίας, ἄλλον δι' ἄλλην αἰτίαν ἐξέβαλλεν· οἱ δὲ, οἷα φιλεῖ γίνεσθαι ἐν ταῖς τοιαύταις τῶν κρατούντων ὁρμαῖς, φατρίας συνίστασαν κατ' αὐτοῦ, καὶ διαβολαῖς πρὸς τὸν δῆμον ἐκέχρηντο· εἰς πίστιν δὲ ἦγον τοὺς ἀκούοντας τὰ λεγόμενα, τὸ μὴ βούλεσθαι τὸν ἐπίσκοπον συνεσθίειν τινὶ, μηδὲ καλούμενον ἐφ' ἑστίαν παραγίνεσθαι· ἐξ οὗ καὶ μάλιστα ἡ μείζων ἐκράτησε διαβολὴ κατ' αὐτοῦ· καὶ τίνι μὲν σκοπῷ συνεσθίειν οὐδενὶ προῄρητο, σαφῶς, οὐδεὶς ἀπαγγεῖλαι δεδύνηται· οἱ μὲν γὰρ ὑπὲρ αὐτοῦ ἀπολογεῖσθαι βουλόμενοι, ἔφασκον ὡς εἴη ἐμπαθὴς, καὶ δυσφόρως τὰ σιτία προσφέροιτο, καὶ διὰ τοῦτο

## Caput IV.

*De Serapione Diacono, & quomodo Ioannes ejus causâ Clericis suis invisus exstiterit.*

His moribus præditus Ioannes, & ad Episcopatus honorem provectus, majori, quàm par erat, severitate in subditos usus est, dum Clericorum suorum vitam, sicut sperabat, corrigere vellet. Statim igitur in ipso Episcopatus exor- C dio, cùm Ecclesiasticis viris asperior visus esset, in odium illorum venit: multique eum aversari, & tanquam iracundum vitare cœperunt. Incitabat autem illum Serapio ejus Diaconus, ut omnium animos à se alienaret. Qui quadam die coram universo Clero contenta voce Episcopum sic allocutus est: nunquam istis dominari poteris, ô Episcope, nisi unâ virgâ omnes abegeris. Hoc ejus dictum, cunctorum odium adversus Episcopum excitavit. Haud multo post Episcopus multos variis de causis Ecclesiæ ejecit. Illi vero, sicut in violento dominatu fieri solet, contra eum D conspirarunt, eumque apud populum calumniati sunt. Porro ut multi audientium criminationibus fidem accommodarent, id præcipue faciebat, quod Episcopus cum nemine unquam vesci vellet, nec vocatus ad convivium accedere. Quâ potissimum ex causâ gravis adversus illum calumnia invaluit. Cæterum quo consilio solus cibum capere instituerit, nemo unquam pro certo potuit exponere. Nam qui illum defendere cupiunt, ajunt illum imbecillioris fuisse stomachi, & morosum ac difficilem in sumendo cibo: atque idcirco